εἰς τὴν Παραλήγουσαν. οἷον, σῶμα. βῆμα. τεῖχος.

# ΠΕΡῚ ΤΗ͂Σ ΠΡΟΣΕΥΧΗ͂Σ ΤΩ͂Ν ΠΑΙΔΊΩΝ.

Δεῦτε προσκυνήσωμεν, ϗ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, ϗ προσπέσωμεν Χριςῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, ϗ προσπέσωμεν αὐτῷ Χριςῷ τῷ Βασιλεῖ, ϗ Θεῷ ἡμῶν.

Δόξα σοι ὁ Θεός ἡμῶν δόξα σοι.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, ϗ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, ϗ ζωῆς χορηγὸς, ἐλθὲ ϗ σκήνωσον ἐν ἡμῖν, ϗ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, ϗ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Ἅγιος

Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἐκ γ'.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι. καὶ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριὰς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε ἐπίσκεψαι, καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

Δόξα, καὶ νῦν.

## ΕΥΧΗ ΚΥΡΙΑΚΗ.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς· Ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου,

Β γ' ὡς

ὡς ἐν Οὐρανῷ, καὶ ἐπὶ τῆς Γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

## ἈΣΠΑΣΜΟ῍Σ ΤΟΥ͂ ἈΓΓΕ΄ΛΟΥ.

Πρὸς τὴν Ἁγιωτάτην Παρθένον.

ΘΕοτόκε Παρθένε, χαῖρε κεχαριτωμένη Μαρία, ὁ Κύριος μετὰ σοῦ. Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ Καρπὸς τῆς κοιλίας σου. ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν. Ἀμήν.

Ἡ Ἐλ-

Ἡ Ἐλπίς μου ὁ Πατὴρ, καταφυγή μου ὁ Υἱὸς, σκέπη μου τὸ Πνεῦμα τὸ Ἅγιον. Τριὰς Ἁγία δόξα σοι.

## ΣΥ'ΜΒΟΛΟΝ Α'ΓΙΟΝ.

Τῆς ἀμωμήτου Πίστεως τῶν Ὀρθοδόξων Χριστιανῶν.

ά. Πιστέυω ἐις ἕνα Θεὸν, Πατέρα Παντοκράτορα, ποιητὴν Οὐρανοῦ καὶ Γῆς, ὁρατῶν τε πάντων, καὶ ἀοράτων.

β'. Καὶ ἐις ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ Φωτὸς, Θεὸν ἀλη-

Β δ' θι-